www.tezaurliturgic.ro



ΤΟ ΠΑΡΟΝ ΔΙΑΝΕΜΕΤΑΙ ΔΩΡΕΑΝ

Ο ΑΠΟΣΤΟΛΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ
ΑΓΙΟΣ ΙΟΥΔΑΣ Ο ΘΑΔΔΑΙΟΣ



Ο ΘΕΛΔΕΛΦΟΣ ΜΑΘΗΤΗΣ
ΤΟΥ ΚΥΡΙΟΥ ΜΑΣ

ΑΘΗΝΑ 2006

www.tezaurliturgic.ro



Ο ΑΠΟΣΤΟΛΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ


ΑΓΙΟΣ ΙΟΥΔΑΣ Ο ΘΑΔΔΑΙΟΣ

Ο ΘΕΑΔΕΛΦΟΣ ΜΑΘΗΤΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΜΑΣ

Ο ΒΙΟΣ, Η ΠΑΡΑΚΛΗΣΗ ΚΑΙ ΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΤΟΥ

ΑΘΗΝΑ 2006

www.tezaurliturgic.ro



Ο ΚΥΡΙΟΣ ΗΜΩΝ ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ
Ο ΥΙΟΣ ΚΑΙ ΛΟΓΟΣ ΤΟΥ ΘΕΟΥ

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
ΧΑΙΡΕΤΙΣΜΟΙ
ΚΑΙ
ΣΥΝΤΟΜΟΣ ΒΙΟΣ

ΤΟΥ

ΑΓΙΟΥ ΙΟΥΔΑ
ΤΟΥ ΘΑΔΔΑΙΟΥ
ΤΟΥ ΘΕΑΔΕΛΦΟΥ

www.tezaurliturgic.ro



ΤΟ ΡΟΔΟΝ ΤΟ ΑΜΑΡΑΝΤΟΝ

ΑΠΟΛΥΤΙΚΙΟΝ

ΤΟΥ

ΑΓΙΟΥ ΙΟΥΔΑ ΤΟΥ ΘΑΔΔΑΙΟΥ

ΤΟΥ ΘΕΑΔΕΛΦΟΥ

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Χριστοῦ σέ συγγενῆ, ὦ Ἰούδα, εἰδότες, καὶ Μάρτυρα στερρόν, ἱερῶς εὐφημοῦμεν, τὴν πλάνην πατήσαντα, καὶ τὴν πίστιν τηρήσαντα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

Ἡ μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Θαδδαίου ἑορτάζεται τὴν **19ην Ἰουνίου** ἀπὸ τὴν Ὀρθόδοξον τοῦ Χριστοῦ Ἐκκλησίαν.

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (11521)
ΤΗΛ. 210 - 72.72.204, FAX 210 - 72.72.210

ΠΡΩΤ. 2296
ΑΡΙΘΜ.
ΔΙΕΚΠ. 1472

Ἀθῆναι 9ῃ Ἰουνίου 2006

Πρὸς
Τὸν Σεβασμιώτατον Μητροπολίτην
Νέας Ἰωνίας καὶ Φιλαδελφείας κ. Κωνσταντῖνον.
Εἰς Νέαν Ἰωνίαν.

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Συνοδικῇ Ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς 7ης ὁδεύοντος μηνὸς Ἰουνίου ἐ.ἔ., καὶ εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. πρωτ. 318/27.4.2006 ὑμετέρου ἐγγράφου, **περὶ ἐγκρίσεως ὑπὸ τῆς Ἱερᾶς Συνόδου «*Ἀσματικῆς Ἀκολουθίας μετὰ Παρακλητικοῦ Κανόνος τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Θαδδαίου, τοῦ Θεαδέλφου*»**, ποιηθείσης ὑπὸ τοῦ κ. Εὐαγγέλου Κοτσιομήτη, Ἰατροῦ, Ἀναπληρωτοῦ Καθηγητοῦ τῆς Ἰατρικῆς Σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν, γνωρίζομεν ὑμῖν, ὅτι κατόπιν καὶ τῆς ὑπ' ἀριθμ. 22/24.5.2006 εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου, **ἐγκρίνεται ἡ ὡς ἄνω Ἱερὰ Ἀκολουθία, ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδὲν τὸ ἀπᾴδον πρὸς τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.**

Προσέτι δέον ὅπως ληφθῶσιν ὑπ' ὄψιν κατὰ τὴν ἔκδοσιν καὶ λειτουργικὴν χρῆσιν ταύτης αἱ ἐν τῷ συνημμένῳ κριτικῷ ὑπομνήματι παρατηρήσεις.

Ὅθεν παρακαλοῦμεν ὑμᾶς, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῶν ἀνωτέρω ἐκδοθησομένων ὑμνολογικῶν πονημάτων διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου.

Ἐπὶ δὲ τούτοις, κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

† Ὁ Ἀθηνῶν **ΧΡΙΣΤΟΔΟΥΛΟΣ**, Πρόεδρος
Ὁ Ἀρχιγραμματεύς
† Ἀρχιμ. Διονύσιος Μάνταλος

Ἀκριβὲς Ἀντίγραφον
Ὁ Ἀρχιγραμματεύς
† Ἀρχιμ. Διονύσιος Μάνταλος

Κοινοποιήσεις:
1. Συνοδικὴν Ἐπιτροπὴν
Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου.
Παρ' ἡμῖν.
2. Ἐλλογιμώτατον κ. Εὐάγγελον Κοτσιομήτην. Ἐνταῦθα.

www.tezaurliturgic.ro



ΟΜΟΛΟΓΙΑ ΠΙΣΤΕΩΣ ΟΡΘΟΔΟΞΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

Πιστεύω Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα Θεόν. Πιστεύω καὶ συνομολογῶ μετὰ τῶν Ἁγίων Ἀποστόλων, τῶν ἑπτὰ Οἰκουμενικῶν Ἁγίων Συνόδων, καὶ πάντων τῶν Ἁγίων, ὅτι θὰ μείνω πιστὸς ἄχρι τέλους τῆς ζωῆς μου, εἰς τὰς ἐγγράφους καὶ ἀγράφους παραδόσεις τῆς ΜΙΑΣ, ΑΓΙΑΣ, ΚΑΘΟΛΙΚΗΣ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ, ὅπως αὐτοὶ ἐδογμάτισαν, ἐτήρησαν, καὶ παρέδωσαν, ἄνευ προσθήκης τινὸς ἢ ἀφαιρέσεως.

(ΑΓΙΟΣ ΜΑΡΚΟΣ Ο ΕΥΓΕΝΙΚΟΣ)
(ΕΠΙΣΚΟΠΟΣ ΕΦΕΣΟΥ 1436-1444)

ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Τὸ παρὸν πόνημα ἀφιερώνεται εἰς τὸν Ἅγιον Ἀπόστολον Ἰούδα τὸν Θαδδαῖον, τὸν ἐκλεκτὸν μαθητὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τόν Θεάδελφον μὲ σκοπὸν νὰ τιμηθῇ ἕνας Ἀπόστολος τοῦ Χριστοῦ μας, ὁ ὁποῖος φέρει τὸ ὄνομα Ἰούδας, τὸ ὁποῖον ἐνῶ ὑποδηλώνει τὴν εὐλογημένη φυλὴ Ἰούδα ἀπὸ τὴν ὁποίαν κατήγετο ὁ Κύριός μας, ἔχει καὶ τὸ δυσώνυμον ὄνομα τοῦ Ἰούδα τῆς προδοσίας.

Οὕτως, κανεὶς δὲν βαπτίζεται εἰς τὸ ὄνομά του, δὲν ὑπάρχει μονὴ εἰς τὸ ὄνομά του ἢ ὄνομα μοναχῶν ἢ μοναζουσῶν ἤ καὶ ἐὰν ὑπάρχει αὐτὸ εἶναι σπάνιον, ἐνῷ εἶναι ἀνύπαρκτη κάποια ἱερὰ ἀκολουθία του. Οὐδεὶς τὸν χαιρετίζει ἢ τὸν παρακαλεῖ προσωπικά.

Ὁ ἀγαπητὸς οὗτος μαθητὴς τοῦ Κυρίου μας "παραπονεθείς" εἰς τὸν Κύριον καὶ Θεὸν ἡμῶν, συνεκίνησε τὴν Μεγαλειότητά Του καὶ ἔδωσε χάριν εἰς τὸν Ἅγιον Ἀπόστολον, σὲ ὅποιον τὸν τιμᾶ καὶ τὸν ἐπικαλεῖται διὰ μέσου τῆς

www.tezaurliturgic.ro

Ἁγίας Τριάδος νὰ ἔχῃ τὴν χάριν τοῦ Ἁγίου καὶ τὴν λύσιν τοῦ αἰτήματός του, ὅσον δύσκολον καὶ ἐὰν εἶναι.

Συγκινηθείς ὁ συγγραφεύς, ἀπὸ τὰ προαναφερθέντα, τὰ ὁποῖα ἔγιναν γνωστὰ στὴν ἐλαχιστότητά του μὲ θαυμαστὸν τρόπον καί προσευχηθείς εἰς τὸν Ἅγιον Ἀπόστολον, ζήτησε νά τόν ἀξιώσῃ μὲ τὴν χάρη του, νὰ διαμηνύσῃ τὸ γεγονὸς καὶ νὰ διαδώσῃ, τὸ σεπτὸν ὄνομα, τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Θαδδαίου τοῦ Θεαδέλφου, ἐὰν εἶναι δυνατὸν εἰς ὁλόκληρον τὴν Ὀρθοδοξίαν.

Διὰ τὸν σκοπὸν αὐτὸν ἐπικαλοῦμαι τὴν χάριν τοῦ Ἁγίου καὶ εὐελπιστῶ εἰς τὴν ἀγάπην καὶ τὸν σεβασμὸν κάθε Ὀρθοδόξου Χριστιανοῦ.

Μὲ σεβασμὸ εἰς τὸν Ἅγιον Ἰούδαν τὸν Θαδδαῖον.

Εὐάγγελος Κοτσιομήτης
Ἰατρὸς ὁ ἐλάχιστος

Ἀθήνα 19 - 7 - 2006

ΣΥΝΤΟΜΟΣ ΒΙΟΣ
ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΔΑ ΤΟΥ ΘΑΔΔΑΙΟΥ ΤΟΥ ΘΕΑΔΕΛΦΟΥ

Ὁ Ἅγιος Ἰούδας, ἦτο εἷς ἐκ τῶν δώδεκα Ἀποστόλων, καὶ ἐν μὲν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ (κεφ. ς΄ 16) ὁμοίως καὶ ἐν ταῖς Πράξεσι (κεφ. α΄ 13) ὀνομάζεται Ἰούδας Ἰακώβου, δηλαδὴ ἀδελφὸς Ἰακώβου τοῦ ἀδελφοθέου, ἐν δὲ τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ ὀνομάζεται Θαδδαῖος καὶ Λεββαῖος (κεφ. ι΄ 3), ὁ ὁποῖος ἔγραψε καὶ τὴν Καθολικὴν ἐπιστολήν, τὴν φωτιστικὴν ἐκείνην καὶ δογματικήν, εἰς πάντας τοὺς πιστεύσαντας Χριστιανούς. Ἦτο δὲ αὐτάδελφος τοῦ Κυρίου, καθότι ἦτο υἱὸς τοῦ Μνήστορος Ἰωσήφ, κατὰ τὸν θεῖον Ἐπιφάνιον (Αἱρέσ. οη΄) καὶ ὑπηρέτης τοῦ φρικτοῦ Μυστηρίου τῆς ὑπὲρ λόγον ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου.

Οὗτος λοιπὸν πεμφθείς εἰς τὸν κόσμον παρ' αὐτοῦ τοῦ Χριστοῦ, ὡς ἀδελφὸς αὐτοῦ καὶ μυσταγωγός, καὶ ὡς

www.tezaurliturgic.ro

ἄνθραξ πυρωθείς ταῖς αὐτοῦ λαμπρότησι, πᾶσαν πλάνην κατέφλεξε καὶ τοὺς ἐσκοτισμένους ἐφώτισε, διότι οὗτος ἕλκων τὸν ζυγὸν τοῦ Σωτῆρος καὶ τὴν αὖλακα τέμνων καὶ σπείρων τὸν σπόρον τῆς εὐσεβείας εἰς τὴν Οἰκουμένην, πολὺν ἐποίησε καρπὸν καὶ πολλοὺς τῇ ἀληθινῇ πίστει στηρίξας, ἔπεισε τούτους, νὰ χλευάζωσι καὶ νὰ περιγελῶσι τὰ τῶν Ἑλλήνων εἴδωλα. Ἐπειδὴ, οἱ λατρεύοντες τοὺς ψευδωνύμους θεοὺς, δὲν ἠδύναντο νὰ ἰατρεύσωσι τάς ἀνιάτους ἀσθενείας, διὰ τοῦτο κατέφευγον εἰς τὸν Ἅγιον τοῦτον Ἀπόστολον, καὶ οὕτως ἐλάμβανον διπλῆν τὴν ἰατρείαν, σώματος καὶ ψυχῆς, διότι ἡ ἰατρεία τῶν τοῦ σώματος ἀσθενειῶν, ὁδηγὸς ἐγίνετο εἰς τοὺς ἀπίστους πρὸς τὴν πίστιν τοῦ Χριστοῦ.

Πρὶν ἀπὸ τὴν κλήση του ἀπὸ τὸν Κύριο, ὥστε νὰ συναριθμηθῇ μεταξὺ τῶν 12 μαθητῶν Του, προσῆλθε στὶς ὄχθες τοῦ ποταμοῦ Ἰορδάνη καί ζήτησε νὰ βαπτισθῇ ἀπὸ τὸν Ἰωάννη τὸν Βαπτιστή, ὅπως τόσοι ἄλλοι ἄνθρωποι

εἶχαν δίψα νὰ βαπτισθοῦν καὶ νὰ μάθουν γιὰ τὸν Μεσσία.

Σύμφωνα μὲ τὴν παράδοση, μετὰ τὴν Ἀνάληψη τοῦ Ἰησοῦ Χριστοῦ καὶ τὴν δωρεὰ τοῦ Ἁγίου Πνεύματος ὁ Ἀπόστολος Ἰούδας ὁ Θαδδαῖος ἔλαβε δύναμιν πολλὴν καὶ σοφίαν καὶ κήρυξε τὸ Εὐαγγέλιον τῆς σωτηρίας ἀρχικὰ στὴν Μεσοποταμίαν, ἐν συνεχείᾳ στὴν Παρθίαν, τὴν Ἀρμενίαν καὶ τέλος στὴν Συρίαν καὶ κυρίως στὴν Ἔδεσσαν, ἐνῶ ἔφθασε τὸ κήρυγμά του, ἕως τὴν Βηρυττὸν καὶ τὴν πόλιν τῆς Φοινίκης.

Ἀμέτρητα εἶναι τὰ θαύματα τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Θεαδέλφου κατὰ τὴν ἐπίγειον βιοτήν του.

Χαρακτηριστικὸ παραμένει τὸ θαῦμα τῆς ἰάσεως τοῦ ἡγεμόνα τῆς Συρίας Αὔγαρου ὁ ὁποῖος ἀσθενήσας βαρειὰ ἀπὸ τὴν νόσον τῆς λέπρας τὸν ἐθεράπευσε πλήρως.

www.tezaurliturgic.ro

Ὁ ἡγεμόνας ἀναγνωρίζοντας τὴν πίστη ποὺ δίδασκε ὁ Ἀπόστολος Ἰούδας στὸν Ἰησοῦ Χριστὸν ἐπηρέασε μεγάλο πλῆθος ἐκ τοῦ λαοῦ του, οἱ ὁποῖοι καθημερινὰ ἐβαπτίζοντο κατὰ συρροὴν στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Περατώσας τὸ θεῖον ἔργον του ὁ Ἀπόστολος Ἰούδας ὁ Θαδδαῖος ἐπορεύθη στὴν πόλιν Ἀραρὰ καὶ ἐκεῖ, κρεμασθείς ὑπὸ τῶν ἀπίστων καὶ διὰ δεκαεννέα βελῶν πληχθείς, παρέδωκε τὴν ψυχὴν του εἰς χείρας Τοῦ Θεοῦ, καὶ ἔλαβε παρ' Αὐτοῦ τὸν τοῦ Μαρτυρίου ἀμάραντον στέφανον.



Προσευχή στὸν Ἅγιο Ἰούδα τὸ Θαδδαῖο

Ἡ μνήμη του ἑορτάζεται στὶς 19 Ἰουνίου

Ἁγιώτατε Ἀπόστολε, Ἅγιε Ἰούδα Θαδδαῖε, πιστὲ ὑπηρέτη καὶ φίλε τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ Ὀρθοδοξία, σ' ὅλον τὸν κόσμο σὲ τιμᾶ καὶ σὲ ἐπικαλεῖται ὡς προστάτη τῶν ἀπελπισμένων ὑποθέσεων, αὐτῶν γιὰ τὶς ὁποῖες ἔχει χαθεῖ κάθε ἐλπίδα.

Προσεύχου γιὰ μένα. Εἶμαι τόσο ἀπελπισμένος/η καὶ μόνος/η. Σὲ ἱκετεύω κάνε χρήση αὐτῆς τῆς ἰδιαίτερης Χάρης πού σου ἔχει δοθεῖ, νὰ φέρνεις ὁρατὴ καὶ γρήγορη βοήθεια ὅπου δὲν ὑπάρχει καμμία σχεδὸν ἐλπίδα βοηθείας. Βοήθησέ με τούτη τὴν ὥρα τῆς ἀνάγκης, γιὰ νὰ μπορέσω νὰ λάβω τὴν παρηγοριὰ

www.tezaurliturgic.ro

καὶ βοήθεια τῆς Ἁγίας Τριάδος, σ' ὅλες μου τὶς ἀνάγκες, δοκιμασίες, καὶ βάσανα - (*ἐδῶ ἐκφράζετε τὸ αἴτημά σας*) - καὶ νὰ μπορῶ νὰ ὑμνῶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μαζὶ μὲ σένα καὶ μὲ ὅλους τοὺς Ὀρθοδόξους Χριστιανούς.

Ὑπόσχομαι, ὦ εὐλογημένε Ἅγιε Ἰούδα Θαδδαῖε, νὰ ἐνθυμοῦμαι πάντοτε αὐτὴ τὴ μεγάλη Χάρη. Νὰ σὲ τιμῶ πάντοτε, ἰδιαίτερα ὡς τὸν πιὸ δυνατὸ προστάτη μου, καὶ μ' εὐγνωμοσύνη νὰ ἐνθαρρύνω τὴν εὐλάβεια πρὸς ἐσένα. ΑΜΗΝ.

Εἴθε τὸ ὄνομα τῆς Ἁγίας Τριάδος νὰ λατρεύεται καὶ νὰ ὑμνεῖται ἀπ' ὅλους τοὺς Ὀρθοδόξους Χριστιανοὺς, στοὺς αἰῶνες τῶν αἰώνων. ΑΜΗΝ.

Εἴθε τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, νὰ ὑμνεῖται καὶ νὰ δοξάζεται τώρα καὶ παντοτεινά. ΑΜΗΝ.

Ἂς εἶναι εὐλογημένο τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἂς εἶναι εὐλογημένο τὸ ὄνομα τῆς

Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Ἂς εἶναι εὐλογημένος ὁ Ἅγιος Ἰούδας ὁ Θαδδαῖος.

Ἅγιε Ἰούδα Θαδδαῖε δεήσου γιὰ μᾶς καὶ ἄκουσε τὶς προσευχές μας. ΑΜΗΝ.

Σ' ὅλο τὸν κόσμο καὶ σ' ὅλους τους αἰῶνες. ΑΜΗΝ.

Πάτερ Ἡμῶν .....

Χαῖρε Μαρία Κεχαριτωμένη, ὁ Κύριος μετά Σοῦ.

Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὁ Ἰησοῦς.

Ὑπεραγία Θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν νῦν καὶ ἀεὶ καὶ τὴν ὥρα τοῦ θανάτου ἡμῶν. ΑΜΗΝ.



www.tezaurliturgic.ro

ΠΡΟΣΕΥΧΗ ΕΝΝΕΑΗΜΕΡΟΥ

Αὐτὴ ἡ προσευχὴ λέγεται ὅταν συναντᾶμε προβλήματα ἢ ὅταν δὲν φαίνεται νὰ ὑπάρχει βοήθεια καὶ ἔχουμε σχεδὸν ἀπελπιστεῖ.

Οἱ προσευχὲς τοῦ ἐννεαημέρου ἀπαγγέλλονται *ἑπτά (7) φορὲς τὴν ἡμέρα, ἐπὶ ἐννέα (9) συνεχεῖς ἡμέρες*. Οἱ προσευχὲς εἰσακούονται τὴν ἐννάτη καὶ πρίν, ὅταν λέγονται μὲ πίστη καὶ ταπείνωση καὶ ποτὲ μέχρι τώρα δὲν ἀπέτυχαν. Θὰ λάβετε τὴ Χάριν ποὺ ζητᾶτε ἀπὸ τὸν Ἅγιο Ἰούδα τὸν Θαδδαῖον, ὅσο ἀπραγματοποίητη κι ἂν φαίνεται.

Πολλοὶ ἄνθρωποι προβληματίζονται μὲ τὸ "ἑπτά (7) φορὲς τὴν ἡμέρα καὶ ἐπὶ ἐννέα (9) συνεχεῖς ἡμέρες".

Ὁ ἀριθμὸς ἑπτὰ (7) εἶναι ἱερὸς ἀριθμὸς καὶ οἱ Πατέρες τῆς Ἐκκλησίας

ὅπως ὁ Ἱερὸς Χρυσόστομος τὸν θεωροῦν ἀριθμὸ τῆς πληρότητος τοῦ Θεοῦ. Δὲν εἶναι τυχαῖο ὅτι ἡ Ἁγία Γραφὴ ἀναφέρει στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη πολλὲς φορὲς τὸν ἀριθμὸ ἑπτὰ (7), π.χ.

- Ἑπτὰ ἡμέρες δημιουργίας.
- Ὁ Δαυὶδ ἀναγγέλει "ἑπτάκις τῆς ἡμέρας αἰνέσω Σε Κύριε".
- Ἑπτὰ οἱ Οἰκουμενικὲς Σύνοδοι.
- Ἑπτὰ οἱ λυχνίες τῆς Ἀποκάλυψης κτλ.

Ὁ ἀριθμὸς ἐννέα (9) ποὺ ἀναφέρεται συμβολίζει τὰ ἐννέα τάγματα τῶν Ἐπουρανίων Ἀγγελικῶν Δυνάμεων τὰ ὁποῖα ἀδειάλειπτα προσφέρουν μὲ τὴν Χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν προστασία τους εἰς τοὺς ἀνθρώπους καὶ γι' αὐτὸ θέλουμε συμβολικὰ νὰ τοὺς τιμήσουμε.

Νὰ μὴν ξεχνᾶμε, ὅτι ὁ Θεῖος Παῦλος, ὁ Ἀπόστολος τῶν Ἐθνῶν μᾶς

www.tezaurliturgic.ro

συμβουλεύει νὰ προσεύχεται ὁ ἄνθρωπος ἀδιάλειπτα.

Συνεπῶς δὲν εἶναι ποσοτικὸς ὁ σκοπὸς τῆς προσευχῆς ποὺ προαναφέρεται ἀλλὰ συμβολικός.

Ἐκεῖνο ποὺ ἔχει σημασία εἶναι ὁ ἄνθρωπος νὰ προσεύχεται μὲ ταπείνωση, πίστη καὶ μὲ τὴν καρδιά του.



ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΤΟΥ
ΑΓΙΟΥ ΙΟΥΔΑ ΤΟΥ ΘΑΔΔΑΙΟΥ
ΤΟΥ ΘΕΑΔΕΛΦΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς:

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Συνοδοιπόρος τοῦ Χριστοῦ θεοφόρος, πλουσίαν χάριν παρ' αὐτοῦ, ἐκκομίσω, τοῦ ἐνεργεῖν παράδοξα Ἰούδα μοι· ὅθεν ταῖς πρεσβείαις σου, πολυμόρφων κινδύνων, ἐκ παντοίων θλίψεων, καὶ δαιμόνων μαντείας, φύλαττε ζῶντας ἅπαντας ἡμᾶς, τοὺς σὲ μεσίτην πρὸς Κύριον ἔχοντας.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σύ προΐστασο πρεσβεύουσα,

www.tezaurliturgic.ro

τὶς ὑμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διαφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστοιχίς.

Εὔφρανον Θαδδαῖε θεία χάριτί σου

Εὐάγγελον μέλψαντος τὴν ἄθλησίν σου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐχθρῶν ἀνηκέστων τὰς προσβολὰς δεχόμενος Ἅγιε, τῇ θερμῇ σου ἐπισκοπῇ προσβλέπω δεόμενος, ῥυσθῆναι τῆς φοβερᾶς μοι Θεάδελφε θλίψεως.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπάρχων πολύτιμος ἀρωγός, δαιμόνων φατρίας, καὶ ἀπάσης ἐπιδρομῆς ἡμᾶς ἀκεραίους διατήρει, ταῖς

σαῖς πρεσβείαις Θαδδαῖε μοι Ἅγιε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Φλογίσματα πάθους ὡς ὑετός, ἡμῖν κατασβέσας καὶ χαρίεσαν τὴν ζωήν, ὑπεσχέθης ἅπασι Θαδδαῖε, αἴτει ἡμῖν τῶν πταισμάτων τὴν ἄφεσιν.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ρυσθῆναι ἡμᾶς ἐκ τοῦ πονηροῦ, τῶν πάντων προστάτις, Θεοτόκε Χριστιανῶν, προστάτευε ἅπαντας Δέσποινα, τῶν ἀδυνάτων ψυχὰς προσελθόντων σοι.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παθημάτων ποικίλων, καὶ φοβερῶν θλίψεων, πάντας θεραπεύσας θεόφρων, τοὺς προσελθόντας σοι, οὕτως ἀπάλλαξον, πάσης φροντίδος καὶ πόνου, Ἅγιε Θαδδαῖε μοι, τοὺς σὲ δοξάζοντας.

www.tezaurliturgic.ro

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πῦρ ὁ φθόγγος σου ὤφθη, καὶ δαψιλῶς φρίττουσι πάντων τῶν δαιμόνων τὰ στίφη, δυνάμει μείζονι· ὅθεν κατάστειλον, τὴν τῶν παθῶν ἡμῶν στήλην, Ἅγιε Ἰούδα μοι, τῆς παρουσίας σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀσφαλέστατον τεῖχος, καὶ συμπαγὲς ἔρεισμα, καὶ ἀναψυχὴ ἐν ἀνάγκαις, καὶ καταστάσεσι, γενοῦ Ἰούδα μοι, τῇ ἀγαθῇ σου καρδίᾳ, σπεύδουσι ἑκάστοτε, οἱ σὲ δοξάζοντες.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ῥάβδος ὤφθης ἁγία, πάντας Χριστῷ ἄγουσα, ὡσπερ Ἡσαΐας προεῖπε, Ἁγίῳ Πνεύματι. Κόρη Πανένδοξε· διὸ τῇ σῇ μεσιτείᾳ, τὸ σκιῶδες φώτισον τῆς διανοίας μου.

Διάσωσον, θαυματουργὲ καὶ θεόπτα πάσης ἀνάγκης, καὶ

μαντείας τοῦ πονηροῦ ἀλγομήτορος, τοὺς σὲ τιμῶντες Θαδδαῖε μοι ἀθλοφόρε.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Κακίστου ἐχθροῦ, ἐδείχθης ἰσχυρότερος, καὶ πάντας σοφέ, κατέπληξες τοῖς ἔργοις σου· καὶ νῦν Μάκαρ προΐστασο, τῶν πιστῶς προσελθόντων ταῖς χεῖρες σου, καὶ τὸν Σωτῆρα δυσώπει ἀεί, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θείαν χάριν δεξάμενος, τῇ διακονίᾳ Χριστοῦ πρεσβεύοντας, ἀπαυγάζεις τὴν ζωὴν ἡμῶν, μάκαρ μὴ παρίδης πάσης θλίψεως.

www.tezaurliturgic.ro

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀλγηδόνων παθήσεων, λύτρωσε Θαδδαῖε μοι, τῇ πρεσβείᾳ σου, τοὺς προστάτην καὶ μεσίτην σε, κεχρισμένους μάκαρ πρὸς τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τεθνεότας σοὶ ἤγειρας, τῇ ζωοποιῷ ἐλεύσει σου Ἅγιε, οὕτω κράτησον Θαδδαῖε μοι, νεκρωθεῖσαν μάκαρ τὴν καρδίαν μου.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ἰησοῦν τὸν Πανέντιμον, Ὃν ἀκαταλήπτως Κόρη ἐκράτησας, καθικέτευε χαρίσασθαι, τῶν πλημμελημάτων ἡμῖν ἄφεσιν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐχοντες τὴν σήν, προστασίαν οὐ πτοούμεθα, τῶν δαιμόνων, καθ' ἡμῶν τάς προσβολάς· διὰ τοῦτο σοι

προσφεύγομεν Ἰούδα μοι.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐλαμψας ὡς φῶς, καὶ ἀκτῖσι τῶν θαυμάτων σου, διαλύεις τὴν σκοτόδινον ἀεί, τῶν λαθῶν ἡμῶν Θαδδαῖε μοι λαμπρότατε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Μέγας βοηθός, ἠξιώθης ἡμῖν Ἅγιε· διὰ τοῦτο σοί εὐχόμεθα θερμῶς· ἀνελοῦ ἡμᾶς κακώσεων καὶ θλίψεων.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ἀχραντε Ἁγνή, Θεοτόκε Ἀειπάρθενε, ἐξελοῦ ἡμᾶς πολλῶν τε πειρασμῶν, Σὺ εἶ Μήτηρ τοῦ Θεοῦ ἡμῶν Πανάγαθος.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σωμάτων, ἔκβαλε πόρρω τὰ ἄλγη τῶν πρὸς σὲ μετὰ σπουδῆς προσελθόντων, καὶ τῶν ψυχῶν

www.tezaurliturgic.ro

ἀσωτείας τὸ βάρος, τὸ καταθλίβον ἡμᾶς ἀνακούφισον, Θαδδαῖε μοι θαυματουργέ, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ρυσθῆναι, τοῦ μοχθηροῦ πανουργίας, καὶ ἀπάσης ἀπειλῆς καὶ κακίας, καὶ σκληροτάτων ἡμᾶς συμπτωμάτων, Χριστὸν δυσώπει παμμάκαρ Ἰούδα μοι, ὅτι ἀρίστην πρὸς Αὐτὸν παρρησίαν κρατεῖς Ἁγιότατε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τοῖς πάθεσι δαψιλῶς, ἀστερόπτα, ἀνεδείχθης ἰατρὸς καὶ προστάτης, τῶν πληγωμένων θερμὸς ἀντιλήπτωρ, καὶ ἐλατὴρ τῶν δαιμόνων Θαδδαῖε μοι· προσφεύγοντες πάντες ὑμῖν, ἀρωγὴν καθ' ἑκάστην προσμένομεν.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Σοὶ πάντες, ἀναφωνοῦμεν Παρθένε

καὶ βοήθειαν ἑτοίμην ζητοῦντες, πάσης ἀνάγκης τῷ βίῳ καὶ πάντες, τῇ χάριτί σου ἐνθέως λυτρούμεθα, Θεοσωτῆρα Μαριάμ· διά τοῦτο ἀεὶ Σὲ γεραίρομεν.

Τὴν δέησιν ἐκχεῶ θεόπτα, πάσης ἀνάγκης, καὶ κακίας τοῦ μοχθηροῦ πολεμήτορος, καὶ δυσωπῶ σὲ Θεάδελφε ἀθλοφόρε.

Ἀχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β'. Τῆς τῶν αἱμάτων σου.

Τοῖς τῶν θαυμάτων σου μάκαρ πυρσεύμασιν ἀποδιώκεις παθῶν τὴν ἐπίθεσιν καὶ βρῶσιν καὶ χάριν οὐράνιον, καὶ χαρμοσύνην παρέχεις Θαδδαῖε μοι, διὸ ἐξυμνοῦμεν σοι ἅπαντες.

Προκείμενον

www.tezaurliturgic.ro

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Ι΄ 1-8)

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε,

νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα... Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι....

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ρήμασι ἐκόσμησας, τὴν σὴν ζωὴν φωτοδότα, καὶ πολλοὺς διέσωσας, λύσης τοῦ ἀλάστορος τοῦ ἐχθρότατου· ἀφειδῶς πᾶσι γάρ, δίδεις τάς ἰάσεις· διὰ τοῦτό σοι δεόμεθα. Ἴασαι Ἅγιε, τῆς ψυχῆς ἡμῶν τὴν κατήφειαν, καὶ λύτρωσαι τῶν θλίψεων, πάντας ἐξ ἡμῶν διαφύλαξον, εἰρήνην παρέχων ἡμῖν καὶ καλωσύνην ἀγαθήν, ὥσπερ παμμάκαρ Θαδδαῖε μοι, ταῖς σαῖς ἀντιλήψεσι.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

www.tezaurliturgic.ro

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λ καθάρτων δαιμόνων, σοὶ καθεῖλες παμμάκαρ πᾶσαν τὴν δύναμιν, πᾶσας τὰς μεθοδείας, αὐτῶν τᾶς ἀλλοτρίους ἐπιτυχῶς κατετρόπωσας, διὸ παράσχου ἡμῖν τὴν ἰατρείαν ταύτην.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Φ ωτισμὸν ἡμῖν αἴτει, καὶ δεινῶν προβλημάτων τὴν παλινόρθωσιν, καὶ βίου εὐπραξίαν, καὶ πᾶσαν εὐλογίαν, ἐκ Θεοῦ μάκαρ Ἅγιε, τοῖς προσελθοῦσι ἀεί, τῇ σῇ σεπτῇ πρεσβείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Π ροκοπὴν μετανοίας, καὶ καρποὺς μοι φανέρωσον μάκαρ Ἅγιε δολείας ἁμαρτίας, ἐκβάλλων τὴν ἀπάτην, ὡς προστάτην ἐδέχθημεν Θαδδαῖε μοι ἐκλεκτέ, Θεοῦ εὐλογητὸς εἶ.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ε ν ἀγκάλαις κρατοῦσα, ὥσπερ νήπιον Κόρη τὸν ἀπερίγραπτον, δεινῶν με τοῦ Βελίαρ, διάσωσον ἐν τάχει, καὶ Θεῷ μοι συνέδεσε, δι' ἐναρέτου ζωῆς, Παρθένε Θεοτόκε.

Ὠδὴ η΄. Τὸν Βασιλέα...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

C ῶσον με μάκαρ, ἐκ τοῦ ἐχθροῦ μεθοδείας, καὶ διάσωσον ἀεὶ ἐξ ἁμαρτίας, τὴν καταστραφεῖσαν, Θαδδαῖε μοι, ψυχήν μου.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λ πὸ σκυμβάλων, καὶ μεθοδείας καὶ πλάνης, διαφύλαττε Θαδδαῖε ἀλωβήτους, τοὺς ἐπιζητοῦντας, τὴν σὴν ἐπιστασίαν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

C ωματικῶν μοι, καὶ ψυχικῶν παθημάτων, τήρει ἄτρωτον Θαδδαῖε μοι τρισμάκαρ, τοῦ καρκίνου πάθος, ἐν λόγῳ θεραπεύσας.

www.tezaurliturgic.ro

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Φώτισον Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, σβέσον πάθεσι καὶ πλείσταις ἁμαρτίαις, ἵνα σὲ δοξάζω τὴν Κεχαριτωμένην.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θαυμάτων ἐξαισίων, Σὲ ὁμολογοῦμεν, μὴ διαλάθῃς παρέχων εὐδόκιμα, ἑνὶ ἑκάστῳ Θαδδαῖε μοι βοηθήματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θεῖος τοῖς ἀνθρώποις, καὶ δεινὸς ἐκφάντωρ, θαυματουργὲ καὶ ἔξαρχα Θαδδαῖε μοι, ὑπὲρ ἡμῶν τὴν Τριάδα ἀεὶ ἱκέτευε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Τριάδος νῦν τῷ θρόνῳ παρεστὼς τρισμάκαρ, εὐχετηρίους ἀφθόνως προσάγαγε, ὑπὲρ τῶν πάντων δεήσεις

τῶν εὐλαβούντων σε.

Καὶ νῦν καὶ ἀεὶ... Θεοτοκίον.

Ἀπάλλαξον τὸν νοῦν μου, Μῆτερ Θεοτόκε, ἐκ λογισμῶν ἀντιθέτων τοῦ πύθωνος, καὶ τὴν καρδίαν μοι Ἄχραντε διάσωσον.

Τὸ «Ἄξιόν Ἐστι»

καὶ τὰ Μεγαλυνάρια.

Χάριν ἀναβλύζεις ζῶσα πηγὴ καὶ τοὺς ἀσθενοῦντας, θεραπεύεις ὡς ἰατρός· δίδου ἡμῖν ῥῶσιν, ἀγάπην καὶ ὑγείαν τρισμάκαρε Θαδδαῖε , τῇ ἀντιλήψει σου.

Θεῖος ἀνεδείχθης ὡς μαθητής, λαμπρότητα βίου, διαφαίνων ἀπὸ παιδός, καὶ τοῖς θαύμασί σου, πολλοὺς ζωοποιήσας, ἀξίως ἐφημίσθης, μάκαρ Ἰούδα μοι.

Χαίροις Ἀποστόλων ὁ ἀδελφός, καὶ τῶν Βασιλέων, ἐγκαλλώπισμα ἱερόν· χαίροις τῶν χαρίτων ἡ ζωηφόρος

www.tezaurliturgic.ro

κρήνη, Ἰούδα μοι τρισμάκαρ, πάντων βοήθεια.

Νόσους ἰατρεύεις ὀδυνηράς, καὶ καρκίνου νεῖκος, χαρισάμενος συμπαθῶς, δίδου ἡμῖν χάριν, ἐν βίῳ καὶ ὑγείαν, Θαδδαῖε μοι παμμάκαρ, τῇ ἀντιλήψει σου.

Δίδου τὴν πρεσβείαν σου πρὸς Χριστόν, τῷ πιστῷ λαῷ σου, σοὶ Θεάδελφε ἱερέ, δύναμιν καὶ πίστην, ἀγάπην καὶ γαλήνην, καὶ πᾶσαν εὐθυμίαν, πρὸς βίον μείζονα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ Τρισάγιον.

Τὸ Πάτερ ἡμῶν. Ὅτι Σοῦ ἐστὶν ἡ Βασιλεία.

Τὸ Ἀπολυτίκιον

Ἦχος α΄. Τὸν τάφον σου Σωτῆρ.

Χριστοῦ σέ συγγενῆ, ὦ Ἰούδα, εἰδότες, καὶ Μάρτυρα στερρόν, ἱερῶς εὐφημοῦμεν, τὴν πλάνην πατήσαντα, καὶ τὴν πίστιν τηρήσαντα· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

Ἕτερον. Ἦχος α΄.

Τῆς ἐρήμου πολίτης.

Θεαδέλφων τὸ μεῖον καὶ Μνηστῆρος τὸν Δεύτερον, τόν Θαδδαῖον ἔχων προστάτην γηθοσύνως δοξάσομεν· θαυμάτων γὰρ παρέχει δωρεάς, καὶ πλήττει ἀσθενείας μιαράς, καὶ καρκίνον ἀπαλλάττει τῆς συνοχῆς, τοὺς εὐσεβῶς προστρέχοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἐκτενής, καὶ Ἀπόλυσις μεθ' ἣν

www.tezaurliturgic.ro

ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Θεῖος ἀθλοφόρος γεγονώς, καὶ θαυμάτων πλήθη δωρήσας, μάκαρ Θαδδαῖε μοι, πάσης καταστάσεως, καὶ ἀλγηδόνος πικρᾶς, καὶ δαιμόνων κακώσεων καὶ κακοδοξίας, καὶ μαγείας λύτρωσας, τοὺς προσελθόντας σοι· ἔχεις γὰρ πολλὴν παρρησίαν, πρὸς τὸν Βασιλέα τῶν πάντων, ἐκζητῶν ἁπάντων τὰ αἰτήματα.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Καὶ τὸ, Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΧΑΙΡΕΤΙΣΜΟΙ
ΤΟΥ
ΑΓΙΟΥ ΙΟΥΔΑ ΤΟΥ ΘΑΔΔΑΙΟΥ
ΤΟΥ ΘΕΑΔΕΛΦΟΥ

Ἀπόστολε τοῦ Χριστοῦ Θαδδαῖε θεάδελφε, τὴν οἰκουμένην φωτήσας, τῆς σωτηρίας τὸν λόγον διέδωσας καὶ εὐθαρσῶς ὁμολογήσας τοῖς τυράννοις, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβες, διὸ καὶ ἡμεῖς ἐκβοῶμεν πρὸς σὲ τοιαῦτα.

Χαῖρε, τῶν Ἀποστόλων ὁμοδίδακτον κλέος.

Χαῖρε, τῶν ἀθλητῶν ὁμοιοστένακτον χρέος.

Χαῖρε, Κριτοῦ τοῦ δικαίου ἡ φανέρωσις.

www.tezaurliturgic.ro

Χαῖρε, ἁπάντων τῶν θνητῶν ἡ βεβαίωσις.

Χαῖρε, τὸν Σωτῆρα τοῦ κόσμου ποθήσας.

Χαῖρε, τὸν ὀλετῆρα τῶν ψυχῶν ἐκπορθήσας.

Χαῖρε, ἀνιάτων νοσημάτων ἡ λύτρωσις.

Χαῖρε, ἀδυνάτων τῇ πίστει ἡ πύρωσις.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Βίον θεόληπτον ἐπεζήτησας, καὶ λαβὼν τὴν κλῆσην ἐκ τῶν ἄνω Θαδδαῖε ἔνδοξε, ἐπεδόθης λόγῳ καὶ ἔργῳ εἰς τοῦ Χριστοῦ τὴν πίστην,

τελειώσας τὸν δρόμον σου μαρτυρικῶς, διὸ καὶ ἡμεῖς συνιδόντες τὴν θυσίαν σου ἀξίως βοῶμεν

Ἀλληλούϊα

Γευθεὶς Θαδδαῖε ἔνδοξε τὰ μυστήρια τῆς Τρισηλίου Θεότητος, τὸν κόσμον ἐπεφώτησας μὲ θεῖον φθόγγον, ἵνα καί ἡμεῖς συνευφρανθῶμεν τῆς χάριτος, διὸ καὶ ἡμεῖς ἀνταποδίδοντες τὸ ἔλαττον πρὸς Σέ, ὁρῶντες τὰ θαυμάσιά σου ἀνυμνοῦμέν σοι τοιαῦτα.

Χαῖρε, τῆς ἀληθείας ζωοδόρητος νόμος.

Χαῖρε, τῆς σωτηρίας γαληνότατος ὅρμος.

Χαῖρε, φωτὸς ἀκηράτου ὁ πυρσοφόρος.

www.tezaurliturgic.ro

Χαῖρε, καρποῦ τῆς σοφίας ὁ θεοφόρος.

Χαῖρε, ἡ φωτοπάροχος αἴγλη ἐν δόξῃ.

Χαῖρε, ἡ βακτηρία περιπατούντων ἐν σκότει.

Χαῖρε, τῶν πταιόντων βροτῶν, ἡ δικαία κατάληξις.

Χαῖρε, τῶν ἀφρόνων σοφῶν ἡ βεβαία κατάτμησις.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Δεδοκὼς, Θαδδαῖε Ἀπόστολε, τὴν θείαν γνῶσιν τοῖς ἀνθρώποις, τὸ ζοφερὸν τῆς ἡμετέρας ψυχῆς σκότος διεσκόρπισες, ὅθεν ἡμεῖς

μυσταγωγούμενοι τῶν δωρεῶν σου, ἐκ τῶν ἀσχημόνων παθῶν τὴν ῥοπὴν ἐξανέστημεν, διὸ καὶ ἡμεῖς ἀξίως βοῶμέν σοι

Ἀλληλούϊα

Εὐαγγελίζων τὰ ἔθνη, μαρτυρικῶς ἐπεράτωσας τάς ὁδούς σου· δεχθεὶς ἐννέα καὶ δεκάτῃ βελέεσιν τὴν πλήξην, παρέδωσας τὴν ἁγίαν ψυχήν σου Θαδδαῖε εἰς Κύριον, διὸ μὲ παρρησία πρεσβεύεις τῷ Κυρίῳ δι' ἡμᾶς· ὅθεν ἅπαντες, τὴν σὴν μνήμην ἐπικαλούμενοι, ἐκβοῶμέν σοι τοιαῦτα.

Χαῖρε, πηγὴ τῆς ἀκενώτου χάριτος.

Χαῖρε, τροφὴ τῶν πιστῶν ἀδαπάνητος.

Χαῖρε, Ἀπόστολε τῆς οὐράνιας γλυκύτητος.

www.tezaurliturgic.ro

Χαῖρε, θησαυρὲ ὑπερκόσμιας πραότητος.

Χαῖρε, Ἀναστάσεως τοῦ Χριστοῦ ἡ ἀπόδειξις.

Χαῖρε, σκολιῶν τῆς ζωῆς ἡ ἀπόσυρσις.

Χαῖρε, ἀγαθῶν λογισμῶν ἡ φανέρωσις.

Χαῖρε, σαρκικῶν πειρασμῶν ἡ ἀπόσβεσις.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Ζηλωτὴς θεόφρων, Ἰούδα ἀνεδείχθης, καὶ τοῦ Κυρίου ἐκκομίσω τὴν χάριν· καταστήσας ὑγιῆ τὸν ἐκ τῆς λέπρας πληγέντα ἡγεμόνα

τῶν Αὐγάρων, μεγάλως ἐφημίσθης, ὅθεν ἡμεῖς ἐνθυμούμενοι τῶν θαυμασίων σου ψάλλομεν

Ἀλληλούϊα

Ἡλίου λαμπρότητα ἐνδυθείς, Θαδδαῖε Ἅγιε, τοὺς πάντας φωτισμοῦ ἐνέπλησας, καὶ καταστήσας τοῖς ἔθνεσι πίστην σταθερὰν καὶ βεβαίαν, διὰ βελῶν ἐτελεύτησας· διὸ καὶ ἡμεῖς, τῶν θείων διδαγμάτων σου μετέχοντες, βοῶμέν σοι τοιαῦτα.

Χαῖρε, σκεῦος χαρισμάτων τῶν οὐρανίων μονῶν.

Χαῖρε, ῥάβδος δυναστεύσασα τὸν δόλιον ἐχθρόν.

Χαῖρε, ἀνόρθωσις τῶν πεπτωκότων ἀρχόντων.

www.tezaurliturgic.ro

Χαῖρε, κατάσπασις τῶν ἀναισχύντων δαιμόνων.

Χαῖρε, τῆς ἐν Χριστῷ πολιτείας κραταιὰ προστασία.

Χαῖρε, ὁ δείκτης τῶν πιστῶν καὶ ψυχῆς σωτηρία.

Χαῖρε, τὸ εὔοσμον καὶ ζωηφόρον φυτόν.

Χαῖρε, ἡδύοσμον ἄνθος τῆς εὐτυχίας ἡμῶν.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Θείῳ φωτί, τὴν οἰκουμένην κατελάμπρυνας ὡς ἀθλοφόρος Ἅγιε, τάς βασάνους τοῦ μαρτυρίου ὑπομείνας εὐθαρσῶς, διὸ καὶ Θαδδαῖος

ἐκλήθης τῷ κόσμῳ, ὅθεν ἅπαντες τὴν σὴν μνήμην ἐπικαλούμενοι βοῶμεν

Ἀλληλούϊα

Ἱλεως γενοῦ καὶ μεσίτης, Θαδδαῖε Ἅγιε, τῷ Δεσπότῃ Χριστῷ, ὡς εὑρῶν χάριν παρ' Αὐτοῦ· Σὲ γὰρ, θερμὸν ἀντιλήπτορα καὶ προστάτην ἔχομεν, εἰς τάς τοῦ βίου ἡμῶν συμφοράς, ὅθεν ἐπικαλούμενοι τὴν μεσιτείαν σου, δαψιλῶς λαμβάνομεν τὸ δώρημα καὶ ἀξίως βοῶμεν τοιαῦτα.

Χαῖρε, τροφὴ τῶν πενήτων ἐν πνεύματι.

Χαῖρε, πιστῶν ἡ σοφία ἐν δόγματι.

Χαῖρε, πηγὴ τῶν διψώντων ἀστείρευτος.

Χαῖρε, βολὴ τῶν δαιμόνων ἀλάθητος.

www.tezaurliturgic.ro

Χαῖρε, ᾄσμα τῆς οὐρανίου χορωδίας.

Χαῖρε, ἡ σύνθεση ἀγγελικῆς ψαλμωδίας.

Χαῖρε, ἄνθος μυρίπνοον τοῦ οὐρανίου λειμῶνος.

Χαῖρε, ἀκήρατον φῶς τοῦ ἀποστάτου αἰῶνος.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Κατὰ κράτος νικήσας, τῶν εἰδώλων τὴν πλάνην, καὶ τὴν ὀρθὴν πίστην στερεώσας, ἰαμάτων τάς δωρεὰς πλουσίως παρέσχες· ὅθεν ἡμεῖς ἐνθυμούμενοι τάς δωρεάς σου, Θαδδαῖε Ἅγιε, συνανυμνοῦμεν διὰ Σοῦ τῷ Κυρίῳ ψάλλοντες

Ἀλληλούϊα

Λάμπρυνε τάς ὁδοὺς μας, Θεάδελφε Θαδδαῖε, διὰ τοῦ ἀπροσίτου φωτὸς τάς ἐκλάμψεις, καὶ στήριξον τοῦ ἀδυνάτους τῇ πίστει, ὅτι σὺ εἶ βοηθὸς καὶ παραστάτης, ὅθεν ἡμεῖς, ἐκ τῶν δεσμῶν τῆς ἁμαρτίας διασωθέντες, ἐνθυμούμενοι τὸ ὑμέτερον καταθύμιον βοῶμεν πρὸς Σὲ τοιαῦτα.

Χαῖρε, τὸ κάτοπτρον τῆς παραδείσου τρυφῆς.

Χαῖρε, ὁ διάδρομος τῆς αἰωνίου ζωῆς.

Χαῖρε, τῶν συμφορῶν τοῦ βίου ὁ ἀκοίμητος εὐεργέτης.

Χαῖρε, τῆς καρδιακῆς προσευχῆς ὁ ἱλαρὸς καταθέτης.

Χαῖρε, τῶν πειρασμῶν ἡμῶν ὁ διάπυρος καταπέλτης.

www.tezaurliturgic.ro

Χαῖρε, στον κολασμὸν τῶν παθῶν, ὁ ἀληθὴς ὑπηρέτης.

Χαῖρε, ὁ τῶν εἰδώλων τὴν ῥίζαν εὐθαρσῶς ἀποκόψας.

Χαῖρε, ὁ τῶν πιστῶν Χριστιανῶν τὴν ζωὴν ἀναδείξας.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Μέγας εἶ καὶ θαυμαστός, Ἅγιε Ἰούδα Θαδδαῖε, χαλεπῶν δὲ νοσημάτων, ὡς ἰατρὸς κατηξιώθης, καὶ πολλοὺς τῇ πίστει προσήνεγκας, ὅθεν ἡμεῖς ἐνθυμούμενοι τάς δωρεάς σου, συνευφραινόμενοι ἀλλήλοις, ψάλλομεν ἀσμένως

Ἀλληλούϊα

Νόμον θεῖον διετράνωσας, Θαδδαῖε Ἅγιε παραλαβὼν ἐκ τοῦ Δικαίου

τὴν χάριν, τηρήσας δὲ τάς ἐντολὰς τοῦ Ἄνακτα Χριστοῦ, πάσας τάς ἐκφάνσεις θεοπνεύστως ἐφανέρωσας, διὸ καὶ ἡμεῖς, ἐν συγκινήσει ἀνυμνοῦμεν πρὸς Σὲ τοιαῦτα.

Χαῖρε, παράκλησις τῶν ἐν πόνῳ πενθούντων.

Χαῖρε, ἀνάκλησις τῶν ἐν θλίψεσι πασχόντων.

Χαῖρε, τάς φαλάγγας τῶν δαιμόνων τροπούμενος.

Χαῖρε, τοῖς ὕμνοις τῶν ἀγγέλων ποθούμενος.

Χαῖρε, ἡ ζῶσα τῆς σωτηρίας ἀπόδειξις.

Χαῖρε, στην τρυφὴ τοῦ παραδείσου ἡ ἀπόλαυσις.

www.tezaurliturgic.ro

Χαῖρε, τὸ εὔοσμον ῥόδον, τῶν εὐσεβῶν εὐωδία.

Χαῖρε, βράχος ὁ στερρὸς καὶ τῶν πιστῶν βακτηρία.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Ξενωθεὶς τῶν παθῶν, Θεάδελφε Ἅγιε, ἀνιάτων νοσημάτων ἔλυσας τὴν ἰσχύν, καὶ πολλοὺς τῇ πίστει ἐτράνωσας, διὸ καὶ προστάτην κραταιὸν ἐκ Κυρίου κατέχομεν, ἀεὶ δὲ ἀναβλύζων ἰάματα τοῖς ἐκβοῶσι

Ἀλληλούϊα

Οὐδεὶς προστρέχων ἐν πίστει ἐπὶ σέ, Θαδδαῖε Ἅγιε, κατησχυμμένος ἐκπορεύεται, ἀλλ' αἰτεῖται χάριν καὶ λαμβάνει πλουσίως τὸ δώρημα, διὸ ἅπαντες τὴν σὴν χάριν ἐγνωκότες γηθοσύνως βοῶμεν τοιαῦτα.

Χαῖρε, Θεάδελφε Ἅγιε τοῦ Παντάνακτος Χριστοῦ.

Χαῖρε, θρῆνε ἀφόρητε τοῦ ἀντίπαλου ἐχθροῦ.

Χαῖρε, τοῦ Θεοῦ καὶ Λόγου ἱερομύστης.

Χαῖρε, ἰαμάτων ἰατρὸς καὶ τῶν θλίψεων ῥύστης.

Χαῖρε, ὅτι ἐφάνης μαθητὴς τοῦ Χριστοῦ θεοφόρος.

Χαῖρε, ὅτι ἐδείχθης τοῖς πιστοῖς ἀσφαλὴς θεηγόρος.

Χαῖρε, τῶν θλιβομένων ἡ θεία παράκλησις.

www.tezaurliturgic.ro

Χαῖρε, τῶν ἀσθενούντων ἡ ταχεῖα ἀνάρρωσις.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Πιστὸν φίλον καὶ εὐχέτην τῷ Κυρίῳ, ἐπὶ σὲ εὕρημεν, ἀκολουθοῦντες τάς συμβουλάς σου, Θαδδαῖε Θεάδελφε, συναποδέκτες τῆς σῆς χάριτος ἀξιώθημεν, διὸ καὶ ἡμεῖς ἐνθυμούμενοι τῇ σῇ χορηγίᾳ δοξαστικῶς βοῶμεν

Ἀλληλούϊα

Ρύστης τῶν ἡμετέρων παθημάτων, ταῖς σαῖς πρεσβείαις ἐγκολπούμεθα χάριν, ἥν δαψιλῶς πρὸς ἡμᾶς προσεκόμισας Θαδδαῖε τρισένδοξε, διὸ καὶ ἡμεῖς ὑπὸ τῶν θαυμασίων σου ἐμφορούμενοι ᾄδομεν ἀπαύστως τοιαῦτα.

Χαῖρε, θείας χρηστότητος ὁ διάπυρος

εὐχέτης.

Χαῖρε, ἀσπὶς δαιμόνων καὶ πυρσίφορος προπέτης.

Χαῖρε, θησαυρὲ τῶν καμνόντων ἀδαπάνητε.

Χαῖρε, τροφὴ τῶν πενήτων ἀκατάτμητε.

Χαῖρε, μύστης ἐνθεότατος διδαχῶν χαροποιῶν.

Χαῖρε, κήρυξ θεοδίδακτος οὐρανίων θησαυρῶν.

Χαῖρε, τῆς σωτηρίας μας πολυτίμητος θαμών.

www.tezaurliturgic.ro

Χαῖρε, τῆς μετανοίας μας χρυσοπράσινος λειμών.

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Σὲ ἔχομεν θερμὸν ἀντιλήπτορα, Θαδδαῖε Ἅγιε, καὶ τὸν θεοπρεπῆ βίον σου εὐλαβούμεθα, γευσάμενοι δὲ τῆς πικρίας σου τὄνομα, συμμεριζόμεθα τῶν δακρύων σου, διὸ πάντες ὁμοθυμαδὸν ἐκβοῶμεν

Ἀλληλούϊα

Τὸ δυσεπώνυμον τῆς προδοσίας ὄνομα, θεία χάριτι εἰς δόξαν μετέτρεψες καὶ εὐλογία διὰ σοῦ Θαδδαῖε Ἅγιε, ἐκαρπώθημεν ἅπαντες, διὸ καὶ ἡμεῖς ἐκπλυθέντες τοῦ ἄγους, ἐκβοῶμεν πρὸς σὲ τοιαῦτα.

Χαῖρε, ἀνηκέστων βλαβῶν ὁ ἔμπρακτος λύτης.

Χαῖρε, τῆς τῶν παθῶν ψυχῆς ἐνθεότατος ῥύστης.

Χαῖρε, τοῦ γένους Ἰούδα συνεπώνυμον κάλεσμα.

Χαῖρε, τῆς ῥίζας τοῦ Χριστοῦ εὐκλεέστατον χάρισμα.

Χαῖρε, τῶν ἀπελπισμένων ἀνθρώπων ἡ λύτρωσις.

Χαῖρε, τῶν ἀσθενούντων τῇ πίστει ἡ πύρωσις.

Χαῖρε, τῶν Ἀποστόλων τιμιώτατον μέλος.

Χαῖρε, κατὰ τῶν δαιμόνων πυρσίφορον βέλος.

www.tezaurliturgic.ro

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Υστάτη ἐλπίδα καὶ βακτηρία, διὰ σοῦ ἀξιώθημεν, καὶ ὅτε καταιγὶς βασάνων τόν βίον ἡμῶν χειμάζει, πρὸ σὲ καταφεύγομεν Θαδδαῖε τρισόλβιε, καὶ διὰ τῆς ὑμετέρας παρρησίας τῷ Κυρίῳ, τὸ δώρημα λαμβάνομεν, διὸ καὶ ἡμεῖς ἀξίως βοῶμεν

Ἀλληλούϊα

Φῶς ἐκ τοῦ ἀπροσίτου φωτὸς ἔλαβες, Θαδδαῖε Ἅγιε, καὶ τῆς ἀπιστίας τὸ σκότος διεσκόρπισες, ὅθεν τὴν ὀρθὴν πίστην στερεώσας, ἠφάνισες τὴν ἀχλὺν τῶν εἰδώλων, διὸ καὶ ἡμεῖς πλησθέντες φωτισμοῦ βοῶμεν πρὸς σὲ τοιαῦτα.

Χαῖρε, τοῦ Σωτῆρα Χριστοῦ εἰκὼν ἀγαθότητος.

Χαῖρε, ὑπόδειγμα θεῖον καὶ πηγὴ

ἱλαρότητος.

Χαῖρε, ὁ ποδηγέτης τῶν παθῶν τῆς κακίας.

Χαῖρε, ὁ θεηλάτης κήρυκας ὑπερκόσμιας σοφίας.

Χαῖρε, εἰς τοῦ Χριστοῦ βῆμα προσφιλὴς παρρησία.

Χαῖρε, σκέπη τῶν θλιβομένων καὶ πτωχῶν προστασία.

Χαῖρε, τῆς Ὀρθοδόξου πίστεως τὸ ἀκλόνητο θεμέλιο.

Χαῖρε, δαιμόνων ὁ φόβος καὶ πυρίλατον φραγγέλιο.

www.tezaurliturgic.ro

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Χαίροις ὁ ποταμὸς τοῦ Χριστοῦ, ὁ ἀεὶ πλήρης τῶν ὑδάτων τῆς χάριτος, σοφίαν κατηξιώθης καὶ τῶν δογμάτων ἀνάδοχος, πάνσεπτε Θαδδαῖε μοι, διὸ ὡς Ἅγιος φωστὴρ ἐφανερώθης, διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ ἡμεῖς εὐφραινόμενοι ψάλλομεν

Ἀλληλούϊα

Ψάλλοντες περιτέχνως, ἐξοδίοις σοι ὕμνοις, τὸ σὸν σκῆνος ἐν δόξῃ ἐτάφη, ἐπελθόντες γὰρ οἱ πιστοὶ πρὸς τὴν Θεὸν ἐκδημίαν σου, τῶν ἰαμάτων τὴν χάριν ἐγεύθησαν Θαδδαῖε καὶ Θεάδελφε, διὸ καὶ ἡμεῖς εὐλαβούμενοι τὴν σὴν μνήμην, ἐν εὐσεβείᾳ, βοῶμέν σοι τοιαῦτα.

Χαῖρε, τῶν παθῶν ὁ ἐκτέμνων τὴν ἄκανθον.

Χαῖρε, τῶν ψυχῶν ὁ καθαίρων τὴν ἄρουραν.

Χαῖρε, φωτὸς Τρισηλίου δοχεῖον εὐάρεστον.

Χαῖρε, ἀκαμάτου ἐργάτη θρονεῖον θεάρεστον.

Χαῖρε, τεῖχος συμπαγέστατον τῶν εὐσεβῶν Χριστιανῶν.

Χαῖρε, ἄνθος εὐωδέστατον καὶ χαρισμάτων μυστικῶν.

Χαῖρε, τοῦ ἀθανάτου φρέατος ἡ ὁλόδροσος πηγή.

Χαῖρε, τῶν ἁγίων καύχημα καὶ ἀγγέλων ἑορτή.

www.tezaurliturgic.ro

Χαῖρε Θαδδαῖε τρισμακάριε.

Ὦ Θαδδαῖε Ἰούδα, Θεάδελφε Κυρίου, θαυμάτων περιφανῶν πλημμυρίς, τάς δεήσεις ἡμῶν δέξου ἀεί, καὶ δίδου τοῖς πᾶσι, πταισμάτων τὴν ἄφεσιν, παθημάτων τὴν ἴασῃ, ταῖς σαῖς πρεσβείαις, διὸ καὶ ἡμεῖς ἀδιαλείπτως τιμῶντες τὴν μνήμην σου ψάλλομεν ὁμοφώνως

Ἀλληλούϊα

Εὐάγγελος Κοτσιομήτης
Ἰατρὸς ὁ ἐλάχιστος

Ἀθήνα 19 - 7 - 2006

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Διὰ τὴν συγγραφὴν τοῦ συντόμου βίου τοῦ Ἁγίου Θαδδαίου χρησιμοποιήθησαν τὰ κάτωθι βιβλία:

1) Βασιλικῆς Βασιλοπούλου «Οἱ δώδεκα Ἀπόστολοι» τῶν Ἐκδόσεων «Ἀποκάλυψις».

2) Ὁ Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας (Ἔκδοσις 5η), Ἀθῆναι 1982.

3) Καινὴ Διαθήκη, Ι. Κολιτσάρα, Ἀθῆναι 2001. (Ἔκδοσις 27η).



www.tezaurliturgic.ro

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΘΕΟΦΑΝΗΝ, ΜΕΛΨΑΝΤΟϹ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΤΗ ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΧΡΗϹΤΟΝ, ΜΕΛΨΑΝΤΟϹ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΤΗ ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΚΩΝϹΤΑΝΤΙΝΑΝ, ΜΕΛΨΑϹΑ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΤΗ ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΓΕΩΡΓΙΟΝ, ΝΙΚΟΛΑΟΝ, ΙΩΑΝΝΗΝ, ΕΛΛΑΔΑ ΚΑΙ ΟΙΚΟΓΕΝΕΙΑϹ ΑΥΤΩΝ ΜΕΛΨΑΝΤΩΝ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΤΗ ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΕΥΑΓΓΕΛΟΝ ΚΑΙ ΟΙΚΟΓΕΝΕΙΑϹ ΑΥΤΟΥ ΜΕΛΨΑΝΤΩΝ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

ΕΥΦΡΑΝΟΝ, ΘΑΔΔΑΙΕ, ΤΗ ΘΕΙΑ ΧΑΡΙΤΙ ϹΟΥ, ΟΛΓΑ ΚΑΙ ΟΙΚΟΓΕΝΕΙΑϹ ΑΥΤΗϹ ΜΕΛΨΑϹΗϹ ΤΗΝ ΑΘΛΗϹΙΝ ϹΟΥ.

Η παρούσα ἔκδοσις πραγματοποιήθηκε μὲ δαπάνη τῆς οἰκογενείας Ἀντωνίου καὶ Ἀντωνίας Λιγνοῦ.

Εὔχομαι ὁ Ἅγιος Ἀπόστολος Ἰούδας ὁ Θαδδαῖος νὰ εἶναι προστάτης τῆς οἰκογενείας των.



Εὐχαριστῶ θερμὰ τὸν ἐκδοτικὸ οἶκο τοῦ κου Π. Παρασκευόπουλου γιὰ τὴν ἐξαίρετη ἐκτύπωση καὶ τὴν ἀγάπη μὲ τὴν ὁποία περιέβαλε τὴν ἔκδοση τῆς Παράκλησης τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Θαδδαίου.

Εὔχομαι ὁ Ἅγιος Ἀπόστολος Ἰούδας ὁ Θαδδαῖος νὰ εὐλογεῖ τὸν βίοτου.